βλαισήν τε †πλατάνιστον† ἀπέθρισε Παμφίλου οἴνης,
σύμπλεκτον καρύης ἔρνεσι Παγκράτεος,
Τύμνεώ τ' εὐπέταλον λεύκην, χλοερόν τε σίσυμβρον
Νικίου, Εὐφήμου τ' ἀμμότροφον πάραλον·
ἐν δ' ἄρα Δαμάγητον, ἴον μέλαν, ἡδύ τε μύρτον
Καλλιμάχου στυφελοῦ μεστὸν ἀεὶ μέλιτος,
λυχνίδα τ' Εὐφορίωνος, ἰδ' †ἐν Μούσῃσιν ἄμεινον†,
ὃς Διὸς ἐκ κούρων ἔσχεν ἐπωνυμίην.
τῇσι δ' ἅμ' Ἡγήσιππον ἐνέπλεκε, μαινάδα βότρυν,
Πέρσου τ' εὐώδη σχοῖνον ἀμησάμενος,
σὺν δ' ἅμα καὶ γλυκύμηλον ἀπ' ἀκρεμόνων Διοτίμου,
καὶ ῥοιῆς ἄνθη πρῶτα Μενεκράτεος,
μυρραίους τε κλάδους Νικαινέτου, ἠδὲ Φαέννου
τέρμινθον, βλωθρήν τ' ἀχράδα Σιμίεω·
ἐν δὲ καὶ ἐκ λειμῶνος ἀμωμήτοιο σέλινα
βαιὰ διακνίζων ἄνθεα Παρθενίδος,
λείψανά τ' εὐκαρπεῦντα μελιστάκτων ἀπὸ Μουσέων
ξανθοὺς ἐκ καλάμης Βακχυλίδεω στάχυας,
ἐν δ' ἄρ' Ἀνακρείοντα, τὸ μὲν γλυκὺ κεῖνο μέλισμα
νέκταρος, εἰς δ' ἐλέγους ἄσπορον ἀνθέμιον,
ἐν δὲ καὶ ἐκ φορβῆς σκολιότριχος ἄνθος ἀκάνθης
Ἀρχιλόχου, μικρὰς στράγγας ἀπ' ὠκεανοῦ,
τοῖς δ' ἅμ' Ἀλεξάνδροιο νέους ὅρπηκας ἐλαίης,
ἠδὲ Πολυκλείτου πορφυρέην κύαμον.
ἐν δ' ἄρ' ἀμάρακον ἧκε, Πολυστράτου ἄνθος ἀοιδῶν,
Φοίνισσάν τε νέην κύπρον ἀπ' Ἀντιπάτρου.
καὶ μὴν καὶ Συρίαν σταχυότριχα θήκατο νάρδον,
ὑμνοθέταν Ἑρμοῦ δῶρον ἀειδόμενον,